# ΙΚΕΤΙΔΕΣ

**ΧΟΡΟΣ ΔΑΝΑΙΔΩΝ**

*Ζεὺς μὲν ἀφίκτωρ ἐπίδοι προφρόνως*
*στόλον ἡμέτερον νάιον ἀρθέντ'*
*ἀπὸ προστομίων λεπτοψαμάθων*
*Νείλου. Δίαν δὲ λιποῦσαι*
*χθόνα σύγχορτον Συρίᾳ φεύγομεν,*
*οὔτιν' ἐφ' αἵματι δημηλασίαν*
*ψήφῳ πόλεως γνωσθεῖσαι,*
*ἀλλ' αὐτογενεῖ φυξανορίᾳ,*
*γάμον Αἰγύπτου παίδων ἀσεβῆ τ'*
*ὀνοταζόμεναι ⟨διάνοιαν⟩.*
*Δαναὸς δὲ πατὴρ καὶ βούλαρχος*

---

2 *ἀρθέντ'* Turnebus : *ἀρόεντ'* M || 3 *λεπτοψαμάθων* Pauw : *λεπτομάθων* M
6 *δημηλασίαν* Auratus : *δημηλασίᾳ* M || 10 *διάνοιαν* suppl. Weil

---

1. ***ἀφίκτωρ***: - smekeling, hier adj. 'beschermer van smekelingen'. 2. ***νάιον***: *νάιος* - scheeps-, adj. v. *ναῦς*. — ***ἀρθέντ'***: 'aan een zeereis begonnen zijnde', part. pass. v. *αἴρω*. 3. ***προστομίων λεπτοψαμάθων***: 'fijnzandige mondingen'. 4. ***Δίαν***: 'aan Zeus gewijd', adj. bij *χθόνα*. 5. ***σύγχορτον***: 'grenzend aan'. 6. ***οὔτιν'... δημηλασίαν***: 'niet tot verbanning'. — ***οὔτιν'***: *οὔτινα*, *-α* wordt wel *-ι* zo goed als nooit geëlideerd. — ***ἐφ' αἵματι***: lett. 'op bloed', vert. 'wegens moord'. 7. ***γνωσθεῖσαι***: = *καταγνωσθεῖσαι* 'veroordeeld', dat waartoe men veroordeeld wordt staat in de acc. 8. ***αὐτογενεῖ φυξανορίᾳ***: 'door uit ons zelf voortgekomen vlucht voor mannen', wrsch. niet 'uit afschuw voor mannen uit het eigenste bloed' (E. de Waele) 9. ***ἀσεβῆ... διάνοιαν***: 'de heiligschennende bedoeling'. 10. ***ὀνοταζόμεναι***: + acc. 'afkeer hebbende van'; *ὀνοτάζομαι* = *ὄνομαι* - afkeuren, gispen, afkeer hebben van iets (*τι*). 11. ***βούλαρχος***: - raadsman, hier missch. 'hij die het initiatief heeft genomen voor ons plan' (om te

*καὶ στασίαρχος τάδε πεσσονομῶν*
*κύδιστ' ἀχέων ἐπέκρινεν*
*φεύγειν ἀνέδην διὰ κῦμ' ἅλιον,*
*κέλσαι δ' Ἄργους γαῖαν, ὅθεν δὴ*
*γένος ἡμέτερον τῆς οἰστροδόνου*
*βοὸς ἐξ ἐπαφῆς κἀξ ἐπιπνοίας*
*Διὸς εὐχόμενον τετέλεσται.*
*τίν' ἂν οὖν χώραν εὔφρονα μᾶλλον*
*τῆσδ' ἀφικοίμεθα*
*σὺν τοῖσδ' ἱκετῶν ἐγχειριδίοις,*
*ἐριοστέπτοισι κλάδοισιν;*
*ὦ πόλις, ὦ γῆ, καὶ λευκὸν ὕδωρ,*
*ὕπατοί τε θεοί, καὶ βαρύτιμοι*
*χθόνιοι θήκας κατέχοντες,*

13 *ἐπέκρινεν* Lobel : *ἐπέκρανεν* M || 23 *ὦ*[1]...*ὦ*[2] Robert : *ὢν*... *ὢν* M

vluchten).

12. ***στασίαρχος***: 'leidsman van onze schare'. — ***τάδε πεσσονομῶν***: 'deze zaken regelend als een damspel'. 13. ***κύδιστ' ἀχέων ἐπέκρινεν***: 'oordeelde het meest eervolle der smarten', d.w.z. 'hij besloot in onze netelige situatie tot iets wat zeer eervol is'. — ***ἐπέκρινεν***: in tegenstelling tot de meeste conjecturen in de voorgaande vss. is *ἐπέκρινεν* nauwelijks of niet te prefereren boven het overgeleverde *ἐπέκρανεν*, en zeker geen noodzakelijke correctie (Murray). 14. ***ἀνέδην***: lett. 'ongebonden', hier 'linea recta', 'zonder pardon', 'hals over kop'. 15. ***κέλσαι***: 'op het strand zetten', 'landen'. 16. ***τῆς οἰστροδόνου βοός***: 'de door een horzel voortgedreven koe', ge. obj. afh. v. *ἐπαφῆς*. 17. ***ἐξ ἐπαφῆς***: 'uit de aanraking'; de zoon van de koe Io en Zeus is Epaphus omdat hij geconcipiëerd was doordat Zeus Io met zijn hand had aangeraakt. 18. ***εὐχόμενον***: sc. *εἶναι* of *τετελέσθαι*. ***τετέλεσται***: 'is voltooid', 'is ter wereld gebracht'. 21. ***ἐγχειριδίοις***: 'in de hand gehouden'. 22. ***ἐριοστέπτοισι***: 'met wol omwonden'. 23. ***λευκὸν ὕδωρ***: 'helder water'. 24. ***βαρύτιμοι*** 24 ***χθόνιοι***: bedoeld worden de locale heroën. ***βαρύτιμοι***: = *ἐρίτιμοι*. 25. ***θήκας κατέχοντες***: 'kisten houdend', d.w.z.

*καὶ Ζεὺς σωτὴρ τρίτος, οἰκοφύλαξ*
*ὁσίων ἀνδρῶν, δέξασθ' ἱκέτην*
*τὸν θηλυγενῆ στόλον αἰδοίῳ*
*πνεύματι χώρας· ἀρσενοπληθῆ δ'*
*ἑσμὸν ὑβριστὴν Αἰγυπτογενῆ,*
*πρὶν πόδα χέρσῳ τῇδ' ἐν ἀσώδει*
*θεῖναι, ξὺν ὄχῳ ταχυήρει*
*πέμψατε πόντονδ'· ἔνθα δὲ λαίλαπι*
*χειμωνοτύπῳ, βροντῇ στεροπῇ τ'*
*ὀμβροφόροισίν τ' ἀνέμοις ἀγρίας*
*ἁλὸς ἀντήσαντες ὄλοιντο,*
*πρίν ποτε λέκτρων, ὧν θέμις εἴργει,*
*σφετεριξάμενοι πατραδέλφειαν*
*τήνδ' ἀκόντων ἐπιβῆναι.*
*νῦν δ' ἐπικεκλομένα* [*στρ. α.*
*Δῖον πόρτιν ὑπερ-*
*πόντιον τιμάορ' ἶνίν τ'*
*ἀνθονόμον τᾶς προγόνου*
*βοὸς ἐξ ἐπιπνοίας*

38 *σφετεριξάμενοι* Portus : *σφετεριξάμενον* M

'begraven'.

28. ***αἰδοίῳ*** 28 ***πνεύματι χώρας***: 'met de respectvolle geest van het land'. 30. ***ἑσμὸν***: - zwerm. 31. ***ἀσώδει***: *ἀσώδης* - modderig, vol slik. 32. ***ξὺν ὄχῳ ταχυήρει***: 'met een snel roeiend vaartuig'. 36. ***ἀντήσαντες***: 'ontmoetende', 'terecht komend in'. 38. ***σφετεριξάμενοι***: *σφετερίζω* - zich toeëigenen. ***πατραδέλφειαν***: 'nakomelingschap / nakomelingen van vaders broeder'. 40. ***ἐπικεκλομένα***: 'aanroepend'. 41. ***Δῖον πόρτιν***: 'uit Zeus geboren kalf'. 42. ***τιμάορ'***: *ὁ τιμάωρ = τιμαορός* - helper, wreker. — ***ἶνίν***: *ἶνις* - zoon, dochter, telg. 43. ***ἀνθονόμον***: 'uit de bloemenweide'. — ***τᾶς προγόνου*** 43 ***βοὸς***: 'van de voorouderlijke koe', 'met een koe als moeder'. 44. ***ἐξ ἐπιπνοίας*** 44 ***Ζηνός***: 'tengevolge van de inblazing van Zeus'.

*Ζηνός· ἔφαψιν ἐπωνυμίᾳ*
*δ' ἐπεκραίνετο μόρσιμος αἰὼν*
*εὐλόγως, Ἔπαφόν τ' ἐγέννασεν·*
*ὄντ' ἐπιλεξαμένα,* [*ἀντ. α.*
*νῦν ἐν ποιονόμοις*
*ματρὸς ἀρχαίας τόποις τῶν*
*πρόσθε πόνων μνασαμένα*
*τά τε νῦν ἐπιδείξω*
*πιστὰ τεκμήρια γαιονόμοις,*
*τὰ δ' ἄελπτά περ ὄντα φανεῖται.*
*γνώσεται δὲ λόγους τις ἐν μάκει.*
*εἰ δὲ κυρεῖ τις*
*πέλας οἰωνοπόλων* [*στρ. β.*
*ἔγγαιος οἶκτον* [*οἰκτρὸν*] *αἰων,*
*δοξάσει τιν' ἀκούειν ὄπα τᾶς Τηρεΐας*
† *Μήτιδος οἰκτρᾶς ἀλόχου,*
*κιρκηλάτου τ' Ἀηδόνης,*
*ἅτ' ἀπὸ χώρων ποταμῶν τ' ἐργομένα* [*ἀντ. β.*
*πενθεῖ μὲν οἶκτον ἠθέων,*
*ξυντίθησι δὲ παιδὸς μόρον, ὡς αὐτοφόνως*
*ὤλετο πρὸς χειρὸς ἔθεν*
*δυσμάτορος κότου τυχών·*
*τὼς καὶ ἐγὼ φιλόδυρτος*
*Ἰαονίοισι νόμοισι* [*στρ. γ.*
*δάπτω τὰν ἁπαλὰν*
*εἱλοθερῆ παρειὰν*

---

45. ***ἔφαψιν ἐπωνυμίᾳ***: ‘met de bijnaam «aanraking»’. 46. ***ἐπεκραίνετο μόρσιμος αἰὼν***: ‘de bestemde tijd ging in vervulling’. 48. ***ἐγέννασεν***: ‘zij baarde’.

*ἀπειρόδακρύν τε καρδίαν.*
*γοεδνὰ δ᾽ ἀνθεμίζομαι*
*δειμαίνουσα φίλους, τᾶσδε φυγᾶς*
*Ἀερίας ἀπὸ γᾶς*
*εἴ τις ἐστὶ κηδεμών.*
*ἀλλά, θεοὶ γενέται,*
*κλύετ᾽ εὖ τὸ δίκαιον ἰδόντες·* [*ἀντ. γ.*
*ἥβᾳ μὴ τέλεον*
*δόντες ἔχειν παρ᾽ αἶσαν,*
*ὕβριν δ᾽ ἐτύμως στυγοῦντες,*
*πέλοιτ᾽ ἂν ἔνδικοι γάμοις.*
*ἔστι δὲ κἀκ πολέμου τειρομένοις*
*βωμὸς ἀρῆς φυγάσιν*
*ῥῦμα, δαιμόνων σέβας.*
*† εἴθ᾽ εἴη Διὸς εὖ παναληθῶς* [*στρ. δ.*
*Διὸς ἵμερος· οὐκ εὐθήρατος ἐτύχθη.*
*παντᾷ τοι φλεγέθει*
*κἀν σκότῳ μελαίνᾳ ξὺν τύχᾳ*
*μερόπεσσι λαοῖς.*
*πίπτει δ᾽ ἀσφαλὲς οὐδ᾽ ἐπὶ νώτῳ* [*ἀντ. δ.*
*κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλειον.*
*δαυλοὶ γὰρ πραπίδων*
*δάσκιοί τε τείνουσιν πόροι*
*κατιδεῖν ἄφραστοι.*
*ἰάπτει δ᾽ ἐλπίδων* [*στρ. ε.*
*ἀφ᾽ ὑψιπύργων πανώλεις*
*βροτούς,*
*βίαν δ᾽ οὔτιν᾽ ἐξοπλίζει·*
*πᾶν ἄπονον δαιμονίων·*
*ἥμενος ὃν φρόνημά πως*

*αὐτόθεν ἐξέπραξεν ἔμ-*
*πας ἑδράνων ἀφ' ἁγνῶν.*
*ἰδέσθω δ' εἰς ὕβριν* [ἀντ. ε.
*βρότειον, οἵα νεάζει,*
*πυθμὴν*
*δι' ἁμὸν γάμον τεθαλὼς*
*δυσπαραβούλοισι φρεσίν,*
*καὶ διάνοιαν μαινόλιν*
*κέντρον ἔχων ἄφυκτον, ἄ-*
*τᾳ δ' ἀπάταν μεταγνούς.*
*τοιαῦτα πάθεα μέλεα θρεομένα λέγω* [στρ. ζ.
*λιγέα βαρέα δακρυοπετῆ,*
*ἰὴ ἰή,*
*ἰηλέμοισιν ἐμπρεπῆ·*
*ζῶσα γόοις με τιμῶ.*
*ἱλεῶμαι μὲν Ἀπίαν βοῦνιν,* [ἐφυμν. α.
*καρβᾶνα δ' αὐδὰν εὖ,*
*γᾶ, κοννεῖς.*
*πολλάκι δ' ἐμπίτνω*
*λακίδι σὺν λινοσινεῖ*
*Σιδονίᾳ καλύπτρᾳ.*
*θεοῖς δ' ἐναγέα τέλεα πελομένων καλῶς* [ἀντ. ζ.
*ἐπίδρομ', ὁπόθι θάνατος ἀπῇ.*
*ἰὼ ἰώ,*
*ἰὼ δυσάγκριτοι πόνοι.*
*ποῖ τόδε κῦμ' ἀπάξει;*
*ἱλεῶμαι μὲν*
*Ἀπίαν βοῦνιν,* [ἐφυμν. α.
*καρβᾶνα δ' αὐδὰν εὖ, γᾶ, κοννεῖς.*
*πολλάκι δ' ἐμπίτνω*

*λακίδι σὺν λινοσινεῖ*
*Σιδονίᾳ καλύπτρᾳ.*
*πλάτα μὲν οὖν* [*στρ. η.*
*λινορραφής τε δόμος ἅλα στέγων δορὸς*
*ἀχείματόν μ᾽ ἔπεμπε σὺν*
*πνοαῖς· οὐδὲ μέμφομαι·*
*τελευτὰς δ᾽ ἐν χρόνῳ*
*πατὴρ ὁ παντόπτας*
*πρευμενεῖς κτίσειεν.*
*σπέρμα σεμνᾶς μέγα ματρός, εὐνὰς* [*ἐφυμν. β.*
*ἀνδρῶν, ἓ ἕ,*
*ἄγαμον ἀδάματον ἐκφυγεῖν.*
*θέλουσα δ᾽ αὖ* [*ἀντ. η.*
*θέλουσαν ἁγνά μ᾽ ἐπιδέτω Διὸς κόρα,*
*ἔχουσα σέμν᾽ ἐνώπι᾽ ἀ-*
*σφαλέα, παντὶ δὲ σθένει*
*† διωγμοῖσι δ᾽ ἀσφαλέας*
*ἀδμῆτος ἀδμήτα*
*ῥύσιος γενέσθω.*
*σπέρμα σεμνᾶς μέγα ματρός, εὐνὰς* [*ἐφυμν. β.*
*ἀνδρῶν, ἓ ἕ,*
*ἄγαμον ἀδάματον ἐκφυγεῖν.*
*εἰ δὲ μή, μελανθὲς* [*στρ. θ.*
*ἡλιόκτυπον γένος*
*τὸν γάιον,*
*τὸν πολυξενώτατον,*
*Ζῆνα τῶν κεκμηκότων*
*ἱξόμεσθα σὺν κλάδοις*
*ἀρτάναις θανοῦσαι,*
*μὴ τυχοῦσαι θεῶν Ὀλυμπίων.*

ᾆ Ζήν, Ἰοῦς· ἰὼ μῆνις [ἐφυμν. γ.
μάστειρ᾽ ἐκ θεῶν·
κοννῶ δ᾽ ἄταν
γαμετᾶν οὐρανονίκων.
χαλεποῦ γὰρ ἐκ
πνεύματος εἶσι χειμών.
καὶ τότ᾽ οὐ δικαίοις [ἀντ. θ.
Ζεὺς ἐνέξεται ψόγοις,
τὸν τᾶς βοὸς
παῖδ᾽ ἀτιμάσας, τὸν αὐ-
τός ποτ᾽ ἔκτισεν γόνῳ,
νῦν ἔχων παλίντροπον
ὄψιν ἐν λιταῖσιν;
ὑψόθεν δ᾽ εὖ κλύοι καλούμενος.
⟨ᾆ Ζήν, Ἰοῦς· ἰὼ μῆνις [ἐφυμν. γ. a
μάστειρ᾽ ἐκ θεῶν·
κοννῶ δ᾽ ἄταν
γαμετᾶν οὐρανονίκων.
χαλεποῦ γὰρ ἐκ
πνεύματος εἶσι χειμών.⟩

Aan het vervolg wordt gewerkt
07-03-2015

*George J. Winter*